στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
δόξας ἀσήμους πολεμίων μεμβλωκότων.
*ΔΙ.* πότερα σὺν ἄλλοις ἢ μόνος πορεύεται;
*ΑΘ.* μόνος· πρὸς εὐνὰς δ', ὡς ἔοικεν, Ἕκτορος
χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.
*ΔΙ.* οὐκοῦν ὑπάρχειν τόνδε κατθανόντα χρή.
*ΑΘ.* οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
τοῦτον δὲ πρὸς σῆς χειρὸς οὐ θέμις θανεῖν.
ἀλλ' ᾧπερ ἥκεις μορσίμους φέρων σφαγάς,
τάχυν'· ἐγὼ δὲ τῷδε σύμμαχος Κύπρις
δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
οὐκ οἶδεν οὐδ' ἤκουσεν ἐγγὺς ὢν λόγου.
*ΠΑ.* σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σ' ἐχρῆν;
ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,
ἢ κλῶπες ἄνδρες ἢ κατάσκοποί τινες.
*ΑΘ.* θάρσει· φυλάσσει σ' ἥδε πρευμενὴς Κύπρις.
μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωικῷ στρατῷ
ἥκω πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
τῆς ὑμνοποιοῦ παῖδα Θρῄκιον θεᾶς
Μούσης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
*ΠΑ.* ἀεί ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει
κἀμοί, μέγιστον δ' ἐν βίῳ κειμήλιον
κρίνας σέ φημι τῇδε προσθέσθαι πόλει.
ἥκω δ' ἀκούσας οὐ τορῶς, φήμη δέ τις
φύλαξιν ἐμπέπτωκεν ὡς κατάσκοποι
ἥκουσ' Ἀχαιῶν. χὢ μὲν οὐκ εἰδὼς λέγει,
ὃ δ' εἰσιδὼν μολόντας οὐκ ἔχει φράσαι·
ὧν οὕνεκ' εὐνὰς ἦλθον πρὸς Ἕκτορος.

---

631. δ' om. *ABC* 635. *οὐ θέμις χειρὸς θανεῖν* (vel *κτανεῖν*) *ABC* 636. *ᾧπερ AB ὥσπερ* reliqui. 643. *σ' ἐχρή* B *σε χρῆν* c *σε χρή* reliqui. 654. δ' om. libri praeter c *A*